M12/2/GREEK/SP2/ENG/TZ0/XX

22122954

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**STANDARD LEVEL**
**PAPER 2**

Wednesday 16 May 2012 (morning)

1 hour 30 minutes

---

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer three questions from two genres only. Each question is worth *[15 marks]*.
- The maximum mark for this examination paper is *[45 marks]*.

2212-2954



© International Baccalaureate Organization 2012

https://xtremepape.rs/

*Answer **three** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.*

**Genre: Epic**

**Question 1. Homer *Iliad* 6.66–85**

Νέστωρ δ᾽ Ἀργείοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος
μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθε
μιμνέτω ὥς κε πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ᾽ ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ ἕκηλοι
νεκροὺς ἂμ πεδίον συλήσετε τεθνηῶτας.
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθά κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες,
εἰ μὴ ἄρ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι εἶπε παραστὰς
Πριαμίδης Ἕλενος οἰωνοπόλων ὄχ᾽ ἄριστος·
Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ᾽ ἄριστοι
πᾶσαν ἐπ᾽ ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ᾽ αὐτοῦ, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων
πάντῃ ἐποιχόμενοι πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι.
αὐτὰρ ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεῖς μὲν Δαναοῖσι μαχησόμεθ᾽ αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει·

(a) Scan lines 66–67, Νέστωρ … Ἄρηος. *[2 marks]*

(b) ὦ φίλοι … τεθνηῶτας (lines 67–71). Give **three** examples to illustrate the forceful impact of this speech. Explain your choices. *[3 marks]*

(c) εἰ μὴ … ἄριστος (lines 75–76). Give **one** detail about each of the three characters mentioned in these lines. What is the relation between them? *[4 marks]*

(d) στῆτ᾽ αὐτοῦ … ἁπάσας (lines 80–83). Explain the humour in its context. *[3 marks]*

(e) Translate αὐτὰρ … ἐπείγει (lines 83–85). *[3 marks]*



https://xtremepape.rs/

**Genre: Epic**

**Question 2. Homer *Iliad* 6.183–199**

καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας.
δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι·
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν.
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας.
τῷ δ᾽ ἄρ᾽ ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·
κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
εἷσε λόχον· τοὶ δ᾽ οὔ τι πάλιν οἶκον δὲ νέοντο·
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης.
ἀλλ᾽ ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠΰν ἐόντα
αὐτοῦ μιν κατέρυκε, δίδου δ᾽ ὅ γε θυγατέρα ἥν,
δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης·
καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο.
ἣ δ᾽ ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ
Ἴσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
ἣ δ᾽ ἔτεκ᾽ ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.

(a) What character does τὴν (line 1) refer to? Give its name and **two** other details. *[3 marks]*

(b) Who is the hero at the core of this text? Give **three** facts about him. *[3 marks]*

(c) Translate ἀλλ᾽ ὅτε … πάσης (lines 191–193). *[3 marks]*

(d) Select **four** examples from the text and show how each illustrates a different characteristic feature of Homeric language and style. *[4 marks]*

(e) Scan lines 198–199, Λαοδαμείῃ … χαλκοκορυστήν. *[2 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 3. Thucydides 2.36.4; 2.40.4–41.1**

ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πολέμιον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ᾽ αὐτὰ καὶ μεθ᾽ οἵας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν.

[…]

καὶ τὰ ἐς ἀρετὴν ἐνηντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι᾽ εὐνοίας ᾧ δέδωκε σῴζειν· ὁ δὲ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ᾽ ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν.
ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι καὶ καθ᾽ ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ᾽ ἡμῶν ἐπὶ πλεῖστ᾽ ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ᾽ ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι.

(a) ὧν ἐγὼ … ἐάσω (lines 1–3). What events in the Athenian recent past does the speaker allude to? Give **three** details. *[3 marks]*

(b) ἀπὸ δὲ οἵας … αὐτῶν (lines 3–6). What does Pericles state the main theme of his speech is? What consequence of listening to it is mentioned here? *[3 marks]*

(c) καὶ τὰ ἐς ἀρετὴν … ἀποδώσων (lines 7–10). Summarize the Athenian theory of friendship presented in these lines. What is the political reality behind the situation described here? *[3 marks]*

(d) Translate ξυνελών … παρέχεσθαι (lines 12–14). *[3 marks]*

(e) From the text choose **three** examples to illustrate Thucydides's literary skills and explain them in the context. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 4. Thucydides 2.43.1; 44.3–4**

καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ᾽ ἡμέραν ἔργῳ θεωμένους καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι,ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο, καὶ ὁπότε καὶ πείρᾳ του σφαλεῖεν, οὐκ οὖν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι.

[…]

ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ, ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. ὅσοι δ᾽ αὖ παρηβήκατε, τόν τε πλέονα κέρδος ὃν ηὐτυχεῖτε βίον ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

(a) καὶ οἵδε μὲν … γιγνομένους αὐτῆς (lines 1–6). What exhortation can be found in the speech? Make **three** points. *[3 marks]*

(b) καὶ ὅταν … προϊέμενοι (lines 6–9). What are the chief characteristics of an ideal Athenian citizen? What is the ultimate consequence of that? *[3 marks]*

(c) Translate ἰδίᾳ τε γὰρ … κινδυνεύωσιν (lines 10–13). *[3 marks]*

(d) ὅσοι δ᾽ αὖ … τιμᾶσθαι (lines 13–16). How are glory and human life correlated in the text? *[3 marks]*

(e) Illustrate Thucydides's rhetorical skills in this extract with **three** quotations from the text. Explain your choice. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 5. Sophocles *Oedipus King* 1–13; 31–34**

**Οἰ.** ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ᾽ ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·
ἁγὼ δικαιῶν μὴ παρ᾽ ἀγγέλων, τέκνα,
ἄλλων ἀκούειν αὐτὸς ὧδ᾽ ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ᾽ ὦ γεραιέ, φράζ᾽, ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε,
δείσαντες ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν· δυσάλγητος γὰρ ἂν
εἴην τοιάνδε μὴ οὐ κατοικτίρων ἕδραν.

[…]

**Ἱε.** θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ᾽ ἐγὼ
οὐδ᾽ οἵδε παῖδες ἑζόμεσθ᾽ ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες ἔν τε δαιμόνων συναλλαγαῖς·

(a) Describe the circumstances and set the scene at the opening of the play. *[4 marks]*

(b) Scan lines 4–5, πόλις … στεναγμάτων. *[2 marks]*

(c) Why is Oedipus called κλεινὸς (line 8)? Give **three** details which explain this. *[3 marks]*

(d) Translate θεοῖσι … συναλλαγαῖς (lines 31–34). *[3 marks]*

(e) Show Sophocles's art in portraying Oedipus in this text. Illustrate your answer with **three** relevant quotations from the text. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 6. Sophocles *Oedipus King* 334–353**

**Οἰ.** οὐκ, ὦ κακῶν κάκιστε, καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ᾽ ὀργάνειας, ἐξερεῖς ποτε,
ἀλλ᾽ ὧδ᾽ ἄτεγκτος κἀτελεύτητος φανεῖ;
**Τει.** ὀργὴν ἐμέμψω τὴν ἐμήν, τὴν σὴν δ᾽ ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ᾽ ἐμὲ ψέγεις.
**Οἰ.** τίς γὰρ τοιαῦτ᾽ ἂν οὐκ ἂν ὀργίζοιτ᾽ ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ᾽ ἀτιμάζεις πόλιν;
**Τει.** ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
**Οἰ.** οὐκοῦν ἅ γ᾽ ἥξει καὶ σὲ χρὴ λέγειν ἐμοί.
**Τει.** οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ᾽, εἰ θέλεις,
θυμοῦ δι᾽ ὀργῆς ἥτις ἀγριωτάτη.
**Οἰ.** καὶ μὴν παρήσω γ᾽ οὐδέν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ᾽· ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον εἰργάσθαι θ᾽, ὅσον
μὴ χερσὶ καίνων· εἰ δ᾽ ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σοῦ τοῦτ᾽, ἔφην εἶναι μόνου.
**Τει.** ἄληθες; ἐννέπω σὲ τῷ κηρύγματι
ᾧπερ προεῖπας ἐμμένειν, κἀφ᾽ ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τούσδε μήτ᾽ ἐμέ,
ὡς ὄντι γῆς τῆσδ᾽ ἀνοσίῳ μιάστορι.

(a) Translate οὐκ, ὦ κακῶν … φανεῖ (lines 334–336). *[3 marks]*

(b) Scan lines 337–338, ὀργὴν … ψέγεις. *[2 marks]*

(c) Explain the dramatic irony in lines 339–342, τίς γὰρ … λέγειν ἐμοί. *[3 marks]*

(d) In lines 345–349, what accusations does Oedipus reject? How does he explain away Teiresias's statements? *[4 marks]*

(e) ἄληθες … μιάστορι (lines 350–353). Illustrate Sophocles's literary art with **three** examples from these lines. Explain your choice. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 7. Aristophanes *Frogs* 1–17**

**Ξα.** εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ᾽ οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
**Δι.** νὴ τὸν Δί᾽ ὅ τι Βούλει γε, πλὴν ‘πιέζομαι,’
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ᾽ ἤδη χολή.
**Ξα.** μηδ᾽ ἕτερον ἀστεῖόν τι; **Δι.** πλήν γ᾽ ‘ὡς θλίβομαι.’
**Ξα.** τί δαί; τὸ πάνυ γέλοιον εἴπω; **Δι.** νὴ Δία
θαρρῶν γε· μόνον ἐκεῖν᾽ ὅπως μὴ ‘ρεῖς, **Ξα.** τὸ τί;
**Δι.** μεταβαλλόμενος τἀνάφορον ὅτι ‘χεζητιᾷς.’
**Ξα.** μηδ᾽ ὅτι τοσοῦτον ἄχθος ἐπ᾽ ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;
**Δι.** μὴ δῆθ᾽, ἱκετεύω, πλήν γ᾽ ὅταν μέλλω ‘ξεμεῖν.
**Ξα.** τί δῆτ᾽ ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν καὶ Λύκις κἀμειψίας;
**Δι.** μή νυν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ ‘νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.

(a) Describe the status and appearance of each of the characters in this text. *[4 marks]*

(b) Translate νὴ τὸν Δί᾽ … ὡς θλίβομαι (lines 3–5). *[3 marks]*

(c) Identify the object of Aristophanes’s satire in lines 1–14, εἴπω … κἀμειψίας. Give **three** details which illustrate it. *[3 marks]*

(d) Scan lines 15–16, μή νυν … ἴδω. *[2 marks]*

(e) Explain the joke in lines 15–17, μή νυν … ἀπέρχομαι. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 8. Aristophanes *Frogs* 89–107**

**Ἡρ.** οὔκουν ἕτερ᾽ ἔστ᾽ ἐνταῦθα μειρακύλλια
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.
**Δι.** ἐπιφυλλίδες ταῦτ᾽ ἐστὶ καὶ στωμύλματα,
χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.
**Ἡρ.** πῶς γόνιμον; **Δι.** ὡδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον,
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ᾽ ἱερῶν,
γλῶτταν δ᾽ ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
**Ἡρ.** σὲ δὲ ταῦτ᾽ ἀρέσκει; **Δι.** μἀλλὰ πλεῖν ἢ μαίνομαι.
**Ἡρ.** ἦ μὴν κόβαλά γ᾽ ἐστίν, ὡς καὶ σοὶ δοκεῖ.
**Δι.** μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
**Ἡρ.** καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
**Δι.** δειπνεῖν με δίδασκε. **Ξα.** περὶ ἐμοῦ δ᾽ οὐδεὶς λόγος.

(a) Translate οὔκουν … λαλίστερα (lines 89–91). *[3 marks]*

(b) ἐπιφυλλίδες … λάκοι (lines 92–97). How does Aristophanes make these lines humorous through his choice of words and phrases? Illustrate your answer with **three** quotations from the text. *[3 marks]*

(c) Scan lines 94–95, ἃ φροῦδα … τραγῳδίᾳ. *[2 marks]*

(d) ὡδὶ γόνιμον … φρενός (lines 98–102). What is being ridiculed here? Give **three** details from the text. *[3 marks]*

(e) σὲ δὲ ταῦτ᾽ … λόγος (lines 103–107). What feature of Herakles's character is revealed in these lines? Choose **four** examples to support your answer, referring closely to the text. *[4 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 9. Plato *Crito* 43a1–8; 43c8–44a4**

**Σω.** τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῴ ἔτι ἐστίν;
**Κρ.** πάνυ μὲν οὖν.
**Σω.** πηνίκα μάλιστα;
**Κρ.** ὄρθρος βαθύς.
**Σω.** θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.
**Κρ.** συνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι καὶ εὐεργέτηται ὑπ᾽ ἐμοῦ.

[…]

**Σω.** τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με;
**Κρ.** οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖν μέν μοι ἥξει τήμερον ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.
**Σω.** ἀλλ᾽, ὦ Κρίτων, τύχῃ ἀγαθῇ, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω· οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.
**Κρ.** πόθεν τοῦτο τεκμαίρῃ;
**Σω.** ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνῄσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.
**Κρ.** φασί γέ τοι δὴ οἱ τούτων κύριοι.

(a) In line 1, why has Crito arrived so early to see Socrates? Explain the circumstances with **three** relevant details from the text. *[3 marks]*

(b) συνήθης … ὑπ᾽ ἐμοῦ (lines 6–7). How does Crito explain being allowed in by the guardian? *[3 marks]*

(c) Translate οὔτοι δὴ … τελευτᾶν (lines 10–12). *[3 marks]*

(d) οὐ μέντοι … τήμερον (lines 13–14). Explain Socrates's remark in its context. *[3 marks]*

(e) Why must Socrates die? *[3 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 10. Plato *Crito* 50c4–50e7**

**Σω.** τί οὖν ἂν εἴπωσιν οἱ νόμοι· "ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμενεῖν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ;" εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν ὅτι "ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα ἀλλ᾽ ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι᾽ ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέν σε; φράσον οὖν, τούτοις ἡμῶν, τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους, μέμφῃ τι ὡς οὐ καλῶς ἔχουσιν;" "οὐ μέμφομαι," φαίην ἄν. "ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;" "καλῶς," φαίην ἄν. "εἶεν. ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ᾽ οὕτως ἔχει, ἆρ᾽ ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ᾽ ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι;"

(a) Who is the speaker in this text? What literary device is being used in the text? What is Socrates's purpose in using this literary device? *[3 marks]*

(b) ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι (line 4). Explain these words in their context. *[3 marks]*

(c) Translate ἐπειδὴ δὲ … καὶ ἡμῖν (lines 11–14). *[3 marks]*

(d) καὶ εἰ τοῦθ᾽ … δίκαιον εἶναι (lines 13–15). What point is being made in these lines? To what extent do you agree with it? *[3 marks]*

(e) Show how Plato sets out his argument in this text with skilful deployment of language and literary art. Use **three** quotations from the text. *[3 marks]*



https://xtremepape.rs/